Claudius Ptolemaeus; Porphyrius: Claudius Ptolemaeus, mit Kommentar von Porphyrius
Südwestdeutschland, Letztes Drittel 16. Jh. Seite 75v

μένων, ἀλλὰ καὶ τῶν ψόφων τοὺς συνεχεῖς τῶν ἀνισοτόνων, ἀπὸ τῶν ἀφθόγγων διακρίνει. καθόλου γὰρ πᾶσα ἐπιστήμη καὶ πᾶσα τέχνη οὐ μόνον τῶν καθ' ἑαυτὰς ἐστὶ καταληπτική, ἀλλὰ καὶ τῶν παρακειμένων. ἢ καὶ τῶν μὲν προηγουμένως, τῶν δὲ κατ' ἐπακολούθησιν. ὃ δὴ κοινότερον ὁ Πτολεμαῖος τὴν ἁρμονικὴν καταληπτικὴν δύναμιν, τῶν ἐν τοῖς ψόφοις περὶ τὸ ὀξὺ καὶ τὸ βαρὺ διαφορῶν. καὶ καὶ δὲ τὴν φωνὴν μὴ διὰ τῶν ἀφθόγγων ἐν τῷ ὅρῳ τάξας ἀλλὰ τὸν ψόφον ὃς τῆς φωνῆς ἐπαναβέβηκεν, ἀκριβέστερον ἂν εἴη πεποιημένος τὴν ἀπόδοσιν. δύναμιν δὲ ἀκουστόν, οὐ τὴν παρὰ τὸ δυνάμει λεγομένην, ἀτελὴς γὰρ ἡ τοιαύτη. καὶ οὔπω, μηδὲ ἂν ἔχῃ ἐπιτήδειος ᾖ πρὸς τὴν ἕξιν. ἀλλὰ τὴν παρὰ τὸ δύνασθαι κεκλημένην, τὴν οἷόν τε οὖσαν ἐνεργεῖν ἤδη τελείως πρὸς ἃ τέτευχεν καθὰ σημαινομένου καὶ τὰς ἕξεις δυνάμεις λέγομεν καὶ τὰς ἐπιστήμας. καὶ ἡ ἁρμονικὴ ἕξις λέγοιτ' ἂν δύναμις.

Ψόφος δὲ πάθος ἀέρος πλησσομένου, τὸ πρῶτον καὶ γενικώτατον τῶν ἀκουστῶν.

Τὸν μὲν γὰρ ψόφον ἐν τῇ φωνῇ ὡς τὸν ὅρον εἶναι γενικώτερον καὶ ψόφος φωνῆς. τὸ δὲ μέρος οὐκ ἂν φωνῇ μέρος συνίσταται, ἢ κατὰ ἀριστοτέλην καί τινας τῶν πυθαγορείων, κυρίως ζώου τινὸς καὶ καθ' ὁρμήν. ἀλλὰ καὶ ἐν ἀψύχοις ὀργάνοις. ψοφοῦμεν κοινῶς τὴν, φωνὴν δέ, οὐκ ἂν λέγοιντο κυρίως. τῶν γὰρ ἀψύχων φησὶν ἀριστοτέλης οὐδὲν

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_389/0156